ἄλσος, περιπάτους θαυμαστοὺς ἔχον· ἐν μέσῳ δὲ τῷ πεδίῳ[71] ὁ τῆς καύστρας αὐτοῦ[72] περίβολος, καὶ οὗτος λίθου λευκοῦ, κύκλῳ μὲν περικείμενον ἔχων σιδηροῦν περίφραγμα, ἐντὸς δ' αἰγείροις κατάφυτον. Πάλιν δ' εἴ τις, εἰς τὴν ἀγορὰν παρελθὼν τὴν ἀρχαίαν, ἄλλην ἐξ ἄλλης ἴδοι παραβεβλημένην ταύτην[73], καὶ βασιλικὰς στοὰς καὶ ναοὺς, ἴδοι δὲ καὶ τὸ Καπιτώλιον, καὶ τὰ ἐνταῦθα ἔργα καὶ τὰ ἐν τῷ Παλατίῳ, καὶ τῷ τῆς Λιβίης περιπάτῳ[74], ῥᾳδίως ἐκλάθοιτ' ἂν τῶν ἔξωθεν[75]. Τοιαύτη μὲν ἡ Ῥώμη.

## ΒΙΒΛΙΟΝ Η'. ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὁ δὲ Κόρινθος[1] ἀφνειὸς[2] μὲν λέγεται διὰ τὸ ἐμπορεῖον, ἐπὶ τῷ Ἰσθμῷ κείμενος, καὶ δυοῖν λιμένων κύριος, ὧν ὁ μὲν τῆς Ἀσίας, ὁ δὲ τῆς Ἰταλίας ἐγγύς[3] ἐστι· καὶ ῥᾳδίας ποιεῖ τὰς ἑκατέρωθεν ἀμοιβὰς[4] τῶν φορτίων πρὸς ἀλλήλους τοῖς τοσοῦτον ἀφεστῶσιν[5]. Ἦν δ' ὥσπερ ὁ πορθμὸς οὐκ εὔπλους ὁ κατὰ τὴν Σικελίαν τὸ παλαιὸν[6], οὕτω καὶ τὰ πελάγη[7], καὶ μάλιστα τὸ ὑπὲρ τῶν Μαλεῶν[8] διὰ τὰς ἀντιπνοίας[9]· ἀφ' οὗ καὶ παροιμιάζονται·

> Μαλεὰς δὲ κάμψας, ἐπιλάθου τῶν οἴκαδε.

Ἀγαπητὸν οὖν ἑκατέροις ἦν τοῖς τε ἐκ τῆς Ἀσίας, καὶ τοῖς ἐκ τῆς Ἰταλίας ἐμπόροις, ἀφεῖσι τὸν ἐπὶ Μαλεὰς πλοῦν, ἐς Κόρινθον κατάγεσθαι[10] τὸν φόρτον αὐτόθι· καὶ πεζῇ δὲ τῶν ἐκκομιζομένων ἐκ τῆς Πελοποννήσου, καὶ τῶν εἰσαγομένων[11] ἔπιπτε τὰ τέλη[12] τοῖς τὰ κλεῖθρα ἔχουσι[13]. Διέμεινε δὲ τοῦτο καὶ εἰς ὕστερον μέχρι παντός[14]· τοῖς δ' ὕστερον καὶ πλείω προσεγένετο πλεονεκτήματα· καὶ γὰρ ὁ Ἰσθμιακὸς ἀγὼν[15] ἐκεῖ συντελούμενος ὄχλους ἐπήγετο. Καὶ οἱ Βακχιάδαι[16] τυραννήσαντες, πλούσιοι καὶ πολλοὶ, καὶ γένος λαμπροὶ, διακόσια ἔτη σχεδόν τι κατέσχον τὴν ἀρχὴν[17], καὶ τὸ ἐμπορεῖον ἀδεῶς ἐκαρπώσαντο· τούτους τε Κύψελος[18] καταλύσας αὐτὸς ἐτυράννησε, καὶ μέχρι τριγονίας[19] ὁ οἶκος αὐτοῦ συνέμεινε. Τοῦ δὲ περὶ τὸν οἶκον τοῦτον[20] πλούτου μαρτύριον, τὸ Ὀλυμπιᾶσιν[21] ἀνάθημα Κυψέλου, σφυρήλατος χρυσοῦς ἀνδριὰς εὐμεγέθης. Δημάρατός[22] τε εἷς τῶν ἐν Κορίνθῳ δυναστευσάντων, φεύγων τὰς ἐκεῖ στάσεις, τοσοῦτον ἠνέγκατο πλοῦτον οἴ-

71) Τῷ πεδίῳ τοῦ Ἄρεως. 72) Τοῦ μέρους ὅπου αὐτὸς (ὁ νεκρὸς τοῦ Σεβαστοῦ) ἐκάη, ὁ περίβολος τῆς πυρᾶς. 73) Παραβάλλων τὴν ἀγορὰν πρὸς τὸ πεδίον ἂν ἴδῃ αὐτὴν ἄλλην καὶ ἄλλας καλλονὰς ἔχουσαν. 74) Μέρη τῆς Ῥώμης. 75) Τῶν ἐν τῷ πεδίῳ τοῦ Ἄρεως, τὸ ὁποῖον ἦν ἔξω τῆς πολεως.

1) Ὁ καὶ ἡ Κόρινθος. 2) Πλουσία· οὕτω τὴν ὀνομάζει ὁ Ὅμηρος. 3) Δηλ. ἐστραμμένος πρὸς Ἀσίαν, ἐγγὺς διὰ τοὺς πλέοντας. 4) Ἀλλαγάς. 5) Κατοίκοις τῆς Ἀσίας καὶ Ἰταλίας.

6) Ὥσπερ ὁ κατὰ τὴν Σικελίαν πορθμὸς οὐκ ἦν εὔπλους (εὐκόλως πλεόμενος) οὕτως ἦν καὶ τὰ πελάγη. 7) Ἴσ. ταῦτα τὰ πελάγη, δηλ. τὰ περὶ τὴν Πελοπόννησον, τὰ ὁποῖα ἀλλαχοῦ ὠνόμασε. 8) Το μεσημβρινώτατον ἀκρωτήριον τῆς Πελοποννήσου. 9) Τοὺς ἐναντίους ἀνέμους. 10) Φαίνεται ὅτι ἐλλείπει ἄλλο ῥῆμα, ἴσως Διατίθεσθαι ἢ Ἀμείβεσθαι. 11) Εἰς Πελοπόννησον. 12) Οἱ τελωνιακοὶ φόροι. 13) Τοῖς ἔχουσι τὴν Κόρινθον, ἥτις ἦν ὡς κλεῖθρον τῆς Πελοποννήσου. 14) Διὰ παντός. 15) Ἀγὼν τελούμενος εἰς τὸν Ἰσθμὸν εἰς τιμὴν τοῦ Ποσειδῶνος. 16) Γενεὰ Δωριέων βασιλεύσασα εἰς Κόρινθον ἀρχαιότατα.

17) Ὁ Διόδωρος λέγει ὅτι 99 ἔτη ἦρξαν. Ἦσαν δὲ αὐτοὶ τὸν ἀριθμὸν 200, ὅθεν ἴσως ἐσύγχυσεν ὁ Στράβων τὰς ἰδέας. 18) Τύραννος τῆς Κορίνθου ἀποδιώξας τοὺς Βακχιάδας.

19) Τρίτης γενεᾶς, μέχρις ἐγγόνου. Ὁ Κύψελος, ὁ Περίανδρος καὶ ὁ Ψαμμήτιχος.

20) Τὴν οἰκογένειαν τῶν Κυψελιδῶν. 21) Εἰς τὸν ναὸν τοῦ Ὀλυμπίου Διὸς εἰς Ηλιδα.

22) Βακχιάδης, φυγαδευθεὶς ὑπὸ τοῦ Κυψέλου.

НАРОДНА БИБЛ. – ВЕЛ.-ТЪРНОВО